61.

## ΠΕΡΙ ΤΟΥ ΠΡΩΤΩΣ ΨΥΧΡΟΥ

(Plan. 53)

F 1. *Ἔστι τις ἄρα τοῦ ψυχροῦ δύναμις, ὦ Φαβωρῖνε, πρώτη καὶ οὐσία, καθάπερ τοῦ θερμοῦ τὸ πῦρ, ἧς παρουσίᾳ τινὶ καὶ μετοχῇ γίνεται τῶν ἄλλων ἕκαστον ψυχρόν; ἢ μᾶλλον ἡ ψυχρότης στέρησίς ἐστι θερμότητος, ὥσπερ τοῦ φωτὸς τὸ σκότος λέγουσι καὶ τῆς κινήσεως τὴν στάσιν; ἐπεὶ καὶ τὸ ψυχρὸν ἔοικε στάσιμον εἶναι, κι-*
946 *νητικὸν δὲ τὸ θερμόν· | αἵ τε τῶν θερμῶν καταψύξεις οὐδεμιᾶς παρουσίᾳ γίνονται δυνάμεως, ἀλλ' ἐκστάσει θερμότητος· ἅμα γὰρ ἀπιοῦσα πολλὴ φαίνεται καὶ ψύχεται τὸ ὑπολειπόμενον· ὁ γὰρ ἀτμός, ὃν τὰ ζέοντα τῶν ὑδάτων μεθίησιν, ἀπιόντι τῷ θερμῷ συνεκπίπτει· διὸ καὶ μειοῖ τὸ πλῆθος ἡ περίψυξις, ἐκκρίνουσα τὸ θερμὸν ἑτέρου μηδενὸς ἐπεισιόντος.*

2. *Ἢ πρῶτον μὲν ἄν τις ὑπίδοιτο τοῦ λόγου τούτου τὸ πολλὰς τῶν ἐμφανῶν ἀναιρεῖν δυνάμεων, ὡς οὐ ποιότητας οὐδ' ἕξεις ἕξεων δὲ καὶ ποιοτήτων στερήσεις, βαρύτητα μὲν κουφότητος καὶ σκληρότητα μαλακότητος τὸ*
B *μέλαν δὲ τοῦ λευκοῦ καὶ τὸ πικρὸν τοῦ γλυκέος, καὶ ὧν ἕκαστον ἑκάστῳ πέφυκεν ἀντικεῖσθαι κατὰ δύναμιν, οὐχ ὡς ἕξει στέρησις; ἔπειθ' ὅτι πᾶσα στέρησις ἀργόν ἐστι*